ePublishing

ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ
EKT NATIONAL DOCUMENTATION CENTRE

The Gleaner

Vol 1 (1963)


Ο ΕΡΑΝΙΣΤΗΣ

ΕΚΔΟΣΗ ΤΟΥ «ΟΜΙΛΟΥ ΜΕΛΕΤΗΣ ΤΟΥ ΕΛΛΗΝΙΚΟΥ ΔΙΑΦΩΤΙΣΜΟΥ»

ΕΤΟΣ Α'
ΤΟΜΟΣ 1
ΤΕΥΧΗ 1-6
ΠΕΡΙΕΧΟΜΕΝΑ
ΕΥΡΕΤΗΡΙΑ

ΑΘΗΝΑ
1963

Καλλινίκου Δ': Συμπλήρωμα στην «Επαρίθμηση» του Δ. Προκοπίου

Άλκης Αγγέλου

doi: 10.12681/er.9584

Copyright © 2016, Άλκης Αγγέλου

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 4.0.

To cite this article:

Αγγέλου Ά. (2016). Καλλινίκου Δ': Συμπλήρωμα στην «Επαρίθμηση» του Δ. Προκοπίου. *The Gleaner*, *1*, 23–29. https://doi.org/10.12681/er.9584

https://epublishing.ekt.gr | **e-Publisher:** EKT | **Downloaded at:** 26/04/2024 20:48:53

ΚΑΛΛΙΝΙΚΟΥ Δ΄: ΣΥΜΠΛΗΡΩΜΑ ΣΤΗΝ "ΕΠΑΡΙΘΜΗΣΗ,, ΤΟΥ Δ. ΠΡΟΚΟΠΙΟΥ

Ἔκδοση καὶ σχόλια Ἄλκη Ἀγγέλου

Ὁ Πατριάρχης Καλλίνικος ὁ Δ΄[1] *δὲν εἶναι ἀπὸ τοὺς ἱερωμένους ποὺ ἐζήλωσαν τὰ ἀξιώματα. Ἡ σπουδὴ καὶ ἡ συγγραφὴ μοιάζει νὰ εἶναι τὸ ἐπίκεντρο τῶν ἐνδιαφερόντων του καὶ τῶν ἀπασχολήσεών του. Ἔτσι ὅταν θὰ ἀποσυρθεῖ ἀπὸ τὴν ἐκκλησιαστικὴ ἱεραρχία καὶ θὰ ἀπομονωθεῖ στὸ οἰκειότερο γι' αὐτὸν περιβάλλον τοῦ σπουδαστηρίου, θὰ αἰσθανθεῖ πολὺ πιὸ ἄνετα καὶ θὰ ἀναπτύξει μιὰ συγγραφικὴ δραστηριότητα, ποὺ μόνο μὲ τὴν ἀντίστοιχη τοῦ σύγχρονού του Καισάριου Δαπόντε μπορεῖ νὰ συγκριθεῖ. Ἡ λογιοσύνη του ὅμως, μὲ τὸ περιεχόμενο ποὺ τῆς ἔχει δώσει, τὸν ἀπομακρύνει ἀπὸ τὰ ἐκπαιδευτικὰ θέματα, ποὺ ἦταν ἀκόμη γιὰ τὴν ἐποχή του ὁ ἄξονας τῆς πνευματικῆς ζωῆς τοῦ γένους, καὶ τὸν φέρνει, ἂν ἐξαιρέσουμε τὰ καθαρῶς θεολογικά, περισσότερο πρὸς τὸν ἱστορισμὸ καὶ τὸ ἀπομνημόνευμα.*

Αὐτὴ ἀκριβῶς ἡ ἰδιομορφία τῆς συγγραφικῆς του ἰδιοσυγκρασίας συνετέλεσε, ὥστε τὸ ἔργο του νὰ μείνει στὸ σύνολό του σχεδὸν ἀνέκδοτο καὶ μόνο κατὰ καιροὺς[2] *νὰ ἔρχεται στὴν ἐπιφάνεια καὶ κάποιο*

1. Εἶναι γνωστὸς καὶ ὡς Καλλίνικος ὁ Γ΄ (1713-1791). Ἡ πατριαρχεία του κράτησε λίγους μῆνες τὸ 1757.

2. Ἔτσι ὁ Κ. Ι. Δυοβουνιώτης (Καλλίνικος Γ΄ Πατριάρχης Κωνσταντινουπόλεως, *ἀνάτυπο ἀπὸ τὸ π. «Ἱερὸς Σύνδεσμος», Ἀθήνα 1915), μαζὺ μὲ ἄλλα κείμενα, ἐξέδωκε καὶ ἕνα «Κατάλογο σοφῶν τινων τοῦ νῦν αἰῶνος», γιὰ τὸν ὁποῖο ὑποστηρίζει ὅτι τὸν ἐχρησιμοποίησε ὁ Καισάριος Δαπόντε ὅταν συνέγραψε τὸν Ἱστορικὸ Καιάλογό του. Τὸ ἔργο αὐτὸ τοῦ Καλλίνικου στὸ τμῆμα ποὺ ἀναφέρεται στοὺς λογίους παρουσιάζει ἐλάχιστες ὁμοιότητες μὲ τὸ Συμπλήρωμα.*

Ὁ Γ. Δεληγιάννης, (Καλλινίκου Γ΄ Ἱστορικὰ Σημειώματα, *«Δελτίον τῆς Ἱστορικῆς καὶ Ἐθνολογικῆς Ἑταιρείας τῆς Ἑλλάδος», νέα σειρὰ 1 (1928) σ. 52 κέ.) ἐδημοσίευσε μιὰ χρονογραφικὴ ἀφήγηση στὸν τύπο τῶν* Ἐφημερίδων.

Ὁ Th. H. Papadopoulos (The history of the greek church and people under turkish domination, *Βρυξέλλες 1952) ἐδημοσίευσε ἕνα κείμενο πολεμικῆς τοῦ Καλλίνικου, τὸν* Πλανοσπαράκτη.

Τέλος ὁ Β. Σκουβαράς, ποὺ ἐκλέτησε συστηματικὰ τὸ ἀρχεῖο τοῦ Καλλίνικου, παρουσιάζει κάθε τόσο καὶ νέα κείμενα ἀπὸ τὴν πλουσία αὐτὴ πηγὴ πληροφοριῶν.

δεῖγμα γραφῆς ἀπὸ τὴν ἔμμετρη ἢ πεζολογικὴ χειρόγραφη πλημμυρίδα ποὺ μᾶς ἄφησε. Τέτοιο χαρακτήρα ἔχει καὶ τὸ κείμενο ποὺ ἐκδίδω ἀμέσως πιὸ κάτω.[3] *Ὁ Καλλίνικος, δηλαδή, ἐπεδίωξε νὰ συμπληρώσει τὸν κατάλογο τῶν λογίων Γραικῶν ποὺ εἶχε συντάξει ὁ Δημήτριος Προκοπίου Πάμπερης, κάτω ἀπὸ τὸν προσωπικὸ ἔλεγχο τοῦ Νικόλαου Μαυροκορδάτου, τοῦ ὁποίου ἐχρημάτισε γραμματέας.*[4] *Ὁ κατάλογος τοῦ Προκοπίου εἶχε συνταχθεῖ τὸν Ἰούνιο τοῦ 1720 καὶ περιελάμβανε 99 λογίους.*[5] *Ὁ Καλλίνικος τὸν ἀντιγράφει, ἀριθμεῖ τοὺς λογίους καὶ συνεχίζει ἕως τὸν ἀριθμὸ 161,*[6] *μὲ τελευταῖο τὸν Κοσμᾶ τὸν Αἰτωλό.*

ΤΟ ΣΥΜΠΛΗΡΩΜΑ ΤΟΥ ΚΑΛΛΙΝΙΚΟΥ

100. *Ἰωάννης Κωνσταντῖνος Δούκα,* ἡγεμὼν πάσης Μολδαβίας. Ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς γλώττης καὶ τῆς ἀριστοτελικῆς φιλοσοφίας ἔμπειρος, μᾶλλον δὲ τῆς Ἱερᾶς θεολογίας. Δεῖγμα δὲ τῆς αὐτοῦ σοφίας τὰ συγγραφέντα μετὰ τὴν [ἐκ] τῆς ἡγεμονίας αὐτοῦ ἔκπτωσιν πονήματα, ἃ τὸ ὑψίνουν καὶ πολυμαθὲς τοῦ ἀνδρὸς παρίστησιν.

101. *Ἀνανίας* ἐκ νήσου . . . . . μιᾶς τῶν Κυκλάδων, μητροπολίτης Κυζίκου. Ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς γλώττης, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν καὶ τὴν Ἱερὰν θεολογίαν. Γέγονεν ἀκροατὴς τῆς ἐν Κωνσταντινουπόλει Σχολῆς.

102. *Κριτίας Προυσαεύς.* Ἀνὴρ σοφὸς καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς διαλέκτου, φιλόσοφος ἀριστοτελικός, θεολόγος. Τετίμηται δὲ καὶ ὀφφικίῳ ἐκκλησιαστικῷ τῆς πρώτης πεντάδος· χρῶνται δ' αὐτῷ οἱ κατὰ καιροὺς πατριάρχαι ἐν πάσαις ταῖς ἀνάγκαις αὐτῶν καὶ ἀξιολόγοις ὑποθέσεσι καί, ἵν' οὕτως εἴπω, ἔστιν αὐτοῖς ὅσον καὶ δεξιὰ χείρ. Προέστη τοῦ ἐν Κωνσταντινου-

3. Σώζεται στὸν ὑπ' ἀριθ. 11 κώδικα τῆς βιβλιοθήκης Ζαγορᾶς, φ 196 r κἑ.

4. Στὴν διδακτορικὴ ἐργασία μου Πλάτωνος τύχαι *ποὺ τυπώνεται, ἐκθέτω τὰ σχετικὰ μὲ τὸν Προκοπίου καὶ διαιτυπώνω τὴν γνώμη ὅτι ἡ «Ἐπαρίθμηση» εἶχε συνταχθεῖ κάτω ἀπὸ τὸν προσεκτικὸ ἔλεγχο τοῦ Νικόλαου.*

5. Ἐδημοσιεύθηκε στὸν 11ο τόμο τῆς Bibliotheca Graeca *τοῦ Jo. Alberti Fabricii, Ἀμβοῦργο 1722, σ. 769-808 μὲ τὸν ἀκόλουθο τίτλο :* «Demetrii Procopii Macedonis Moschopolitae, Ἐπιτετμημένη Ἐπαρίθμησις τῶν κατὰ τὸν παρελθόντα αἰῶνα ΛΟΓΙΩΝ ΓΡΑΙΚΩΝ καὶ περί τινων ἐν τῷ νῦν αἰῶνι ἀνθούντων. *Conscripta mense Junio A. C. MDCCXX, transmissaque Bucuresto et nunc primum edita, cum latina versione. Ὁ Καλλίνικος γράφει «Ἀπαρίθμησις».*

6. Σύμφωνα μὲ τὴν ἀρίθμηση τοῦ χφ θὰ ἔπρεπε νὰ εἶναι 62 οἱ νέοι· εἶναι ὅμως 63, γιατὶ παραλήφθηκε ὁ Νικηφόρος Θεοτόκης· τοῦ ἔδωσα τὸν ἀριθμὸ 145α.

πόλει φροντιστηρίου χρόνον ἱκανὸν καί, εἰμὴ γάμῳ ὡμίλησεν ὁ ἀνήρ, πολλῆς ἂν εἴη ὠφελείας πρόξενος τῷ γένει ἡμῶν.

103. *Σαμουὴλ Βυζάντιος*, μητροπολίτης Δέρκων. Εἰδήμων τῆς ἑλληνικῆς γλώττης καὶ λατινικῆς, πεπαιδευμένος τὴν φιλοσοφίαν οὐ μόνον τὴν ἀριστοτελικήν, ἀλλὰ καὶ τὴν τῶν νεωτέρων, οὐχ ἧττον δὲ καὶ τὴν Ἱερὰν θεολογίαν. Μελετᾷ καὶ ἀναγινώσκει νύκτωρ τε καὶ μεθ' ἡμέραν τὰ τῶν ἐπὶ σοφίᾳ μέγα κλέος ἐσχηκότων πονήματα. Καὶ οὗτος βίᾳ ὑπέγραψε ἐν τῷ ὅρῳ τοῦ ἀναβαπτισμοῦ.

104. *Δωρόθεος ἱερομόναχος Λέσβιος*, πρωτοσύγγελος τῆς Μεγάλης Ἐκκλησίας τῆς ἐν Κωνσταντινουπόλει. Ἀνὴρ σοφός, πολυμαθής, τὸ νοῦν γονιμώτατος καὶ ἐμβαθύνων εἰς τὰ ἐνδότερα τῆς φιλοσοφίας, μιμητὴς εἰς ἰδέαν λόγου τῶν παλαιῶν καὶ μάλιστα Θουκυδίδου. Σχολαρχεῖ δὲ τανῦν τῆς ἐν Κωνσταντινουπόλει Σχολῆς μετὰ προθυμίας ἀόκνου καὶ φιλοπονίας ἀτρύτου, ἀναπτύσσων τοῖς αὐτοῦ ὁμιληταῖς τὰ ἀκροαματικὰ τοῦ Ἀριστοτέλους συγγράμματα.

105. *Ναθαναὴλ Χίος*, μητροπολίτης Ἀγχιάλου. Ἀνὴρ σοφὸς καὶ θεοσεβής, πεπαιδευμένος τήν τε θύραθεν καὶ τὴν καθ' ἡμᾶς παιδείαν, ἱκανὸς ἐννοῆσαι τὰ βάθη τῆς Ἁγίας Γραφῆς καὶ τὰ θεόπνευστα τῶν Πατέρων τῆς Ἐκκλησίας συγγράμματα, φιλόσοφος ἀριστοτελικὸς καὶ διδάσκαλος τῶν θείων λόγων. Ἐσχολάρχησε δὲ καὶ τῆς ἐν Κωνσταντινουπόλει Σχολῆς.

106. *Ἰωακεὶμ Λέσβιος*, μητροπολίτης Θεσσαλονίκης. Ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν καὶ καθ' ἡμᾶς παιδείαν. Σπουδάζει καὶ μελετᾷ μετὰ φιλοπονίας πολλῆς τὰς θείας καὶ ἱερὰς γραφάς, κηρύσσει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης.

107. *Νεόφυτος Λέριος*, μητροπολίτης Σμύρνης. Ἀνὴρ ἐλλόγιμος καὶ εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, ἱκανὸς ἐννοῆσαι τὰ συγγράμματα καὶ τῶν θύραθεν φιλοσόφων καὶ τῶν Πατέρων τῆς ἱερᾶς Ἐκκλησίας.

108. *Παρθένιος Ἀθηναῖος*, πατριάρχης Ἱεροσολύμων. Ἀνὴρ σοφός, ἁγιώτατος καὶ ἀποστολικός, εἰδήμων τῆς ἑλληνικῆς γλώττης καὶ ἀνιχνευτὴς τῆς Θείας Γραφῆς καὶ τῶν Πατέρων τῆς Ἐκκλησίας, φιλόσοφος ἀριστοτελικὸς καὶ θεολόγος ἄριστος. Κηρύττει μετὰ ζήλου καὶ χριστιανικῆς ἀγάπης τὸν λόγον τοῦ Εὐαγγελίου. Καὶ οὗτος βίᾳ ὑπέγραψεν ὅρον τοῦ ἀναβαπτισμοῦ.

109. *Κύριλλος Πελοποννήσιος*, μητροπολίτης Μελενίκου. Ἀνὴρ εὐσεβείᾳ καὶ τρόπων χρηστότητι φαιδρυνόμενος, ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς γλώττης καὶ τῆς λατινικῆς οὐκ ἄγευστος. Κηρύττει

μετὰ ζήλου καὶ θερμῆς ἀγάπης τὸν λόγον τοῦ Εὐαγγελίου· ὁ ἀναβαπτιστής.

110. *Κοσμᾶς* . . . . . πατριάρχης Ἀλεξανδρείας. Ἁγιώτατος ἀνὴρ καὶ θεοσεβέστατος, πεπαιδευμένος τήν τε θύραθεν καὶ καθ' ἡμᾶς παιδείαν, ἀνιχνευτὴς τοῦ βάθους τῶν Θείων Γραφῶν καὶ τῶν θύραθεν φιλοσόφων. Συνέγραψε δὲ καὶ πονήματά τινα, ἀλλ' ἄνευ τάξεως.

111. *Γεώργιος Βυζάντιος*, διδάσκαλος τῆς ἐν Κωνσταντινουπόλει Σχολῆς. Ἀνὴρ ἐλλόγιμος καὶ φιλομαθής, ε ῾ημων τῆς ἑλληνικῆς γλώττης καὶ πεπαιδευμένος τὴν θύραθεν καὶ καθ' ἡμᾶς θεολογίαν, καὶ εἰ μὴ πάθει μελαγχολικῷ περιέπεσεν, ἐπὶ πολὺ ἂν ἔν τε πράξει καὶ θεωρίᾳ ηὐδοκίμησεν ὁ ἀνήρ.

112. *Παναγιώτης Βυζάντιος*, διδάσκαλος τῆς ἐν Κωνσταντινουπόλει Σχολῆς τῶν γραμματικῶν. Ἀνὴρ ἐλλόγιμος, φιλόπονος καὶ φιλομαθής, δαήμων τῆς ἑλληνικῆς γλώττης καὶ πεπαιδευμένος τὴν θύραθεν φιλοσοφίαν.

113. *Κωνσταντῖνος* ἐκ κώμης Σωτῆρος τοῦ Ζαγορᾶ. Ἀνὴρ πεπαιδευμένος τὴν ἑλληνικὴν διάλεκτον καὶ ἔμπειρος τῆς τε θύραθεν καὶ καθ' ἡμᾶς παιδείας. Ἐσχολάρχησεν ἐν Γιασίῳ τῆς Μολδαβίας.

114. *Κωστάκης Ἰουλιανὸς Βυζάντιος*. Ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς γλώττης, πεπαιδευμένος τήν τε θύραθεν καὶ καθ' ἡμᾶς παιδείαν.

115. *Κωνσταντῖνος Σοῦτζος Βυζάντιος*, μέγας χαρτοφύλαξ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας. Δαήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς διαλέκτου, πρὸς δὲ τῆς τῶν Περσῶν καὶ Ἀράβων, ἱκανὸς ἐννοῆσαι καὶ τὰ συγγράμματα καὶ τῶν θύραθεν φιλοσόφων καὶ τῶν ἱερῶν Πατέρων καὶ θεολόγων τῆς Ἐκκλησίας.

116. *Κωνστάντιος* ἐκ τῆς Δημητριάδος, ἐπίσκοπος Τρίκκης, ἀπὸ χώρας Βώλου. Ἀνὴρ πολυμαθής, θεολόγος, φιλόσοφος καὶ μαθηματικός, εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου καὶ ἐν ταῖς Ἱεραῖς Γραφαῖς. Ἐσχολάρχησε δὲ καὶ ἐν τῇ πολιτείᾳ Τυρνάβου τῆς Θετταλίας.

117. *Πρόχωρος*, ἐπίσκοπος Μογλενῶν. Ἀνὴρ πεπαιδευμένος τήν τε Ἱερὰν θεολογίαν καὶ τὴν θύραθεν φιλοσοφίαν καὶ ἐπ' εὐσεβείᾳ καὶ ἐναρέτῳ πολιτείᾳ ἐπίσημος.

118. *Ἰωάννης* ἐκ κώμης Σάτιστα λεγομένης. Ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς γλώττης καὶ πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν καὶ τὴν καθ' ἡμᾶς Ἱερὰν θεολογίαν, κῆρυξ τοῦ Εὐαγγελίου, φιλόσοφος ἀριστοτελικὸς καὶ μαθηματικός.

119. *Γεώργιος Βυζάντιος*. Ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ

περσοαραβικῆς διαλέκτου, ἱκανὸς νοεῖν τῶν τε λογογράφων καὶ φιλοσόφων τὰ συγγράμματα.

120. *Ἰωάννης Βυζάντιος*, μέγας πριμικήριος τῆς ἐν Κωνσταντινουπόλει ἁγίας Ἐκκλησίας. Ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, σοφός, φιλόσοφος ἀριστοτελικὸς καὶ θεολόγος.

121. *Ἀλέξανδρος* ἐκ Τυρνάβου. Ἀνὴρ ἐλλόγιμος, εἰδήμων της ἑλληνικῆς γλώττης, πεπαιδευμένος καὶ τὴν θύραθεν καὶ καθ' ἡμᾶς παιδείαν, φιλόσοφος ἀριστοτελικὸς καὶ ἱεροκῆρυξ. Ἐσχολάρχησε πρῶτον ἐν κωμοπόλει Τυρνάβου τῇ κατὰ Θετταλίαν, τανῦν δὲ ἐν Βουκουρεστίῳ.

122. *Ἰωάννης Πελοποννήσιος*, ῥήτωρ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας Ἐκκλησίας. Ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου καὶ πολυμαθής.

123. *Ἄνθιμος ἱεροδιάκονος*, ἐκ νήσου Τζιᾶς. Ἀνὴρ σοφὸς καὶ πολυμαθής, φιλόσοφος ἀριστοτελικὸς καὶ ἱεροκῆρυξ ἄριστος.

124. *Καλλίνικος* ὁ ἐκ Σωτῆρος τοῦ Ζαγορᾶ, μητροπολίτης Προϊλάβου. Ἀνὴρ ἐλλόγιμος καὶ θεοσεβής, εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, τῆς τε Ἱερᾶς Γραφῆς καὶ τῶν Πατέρων τῆς Ἐκκλησίας ἔμπειρος. Κηρύσσει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ ζήλου πολλοῦ. Συνεγράψατο δὲ ἐφημερίδας τινὰς καὶ βίους συνοπτικοὺς τῶν μετὰ τὴν ἅλωσιν ὑπάτων καὶ ἔργων αὐτῶν καὶ τῶν τοὺς τῆς Μεγάλης Ἐκκλησίας οἴακας ἀναδεξαμένων, καὶ ἄλλα τινά, καὶ κατὰ ἀναβαπτιστῶν.

125. *Νικόλαος* ὁ ἐκ Ζαγορᾶς. Ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου καὶ φιλόσοφος ἀριστοτελικός. Ἐσχολάρχησε δὲ ἐν τῇ σχολῇ τῇ ἐν Γιασίῳ τῆς Μολδαβίας.

126. *Κωνσταντῖνος* ὁ ἐκ Σκοπέλου. Ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς Ἑλλήνων γλώττης, καὶ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τάξεως ἔμπειρος. Μάρτυς δὲ τῆς ἀρετῆς τἀνδρὸς τὰ πονηθέντα διὰ στίχων πολιτικῶν διάφορα συγγράμματα καὶ κανόνες τινές· ὁ καὶ Καισάριος.

127. *Ἀνανίας* ἐκ νήσου Πάρου. Ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, φιλόσοφος ἀριστοτελικὸς καὶ μουσικὸς τέλειος. Σχολαρχεῖ δὲ τοῦ ἐν Κωνσταντινουπόλει φροντιστηρίου τῶν γραμματικῶν.

128. *Μακάριος* ὁ ἐκ Κρήτης. Ἀνὴρ σοφὸς καὶ πολυμαθής, εἰδήμων τῆς λατινίδος γλώσσης, φιλόσοφος ἀριστοτελικός, θεολόγος καὶ ἱεροκῆρυξ ἄριστος καὶ περιηγητὴς τῆς Εὐρώπης. Μαρτυρεῖ δὲ τὸ πολυμαθὲς τοῦ ἀνδρὸς αἱ τύποις παρ' αὐτοῦ ἐκδοθεῖσαι εἰς δύο βιβλία Διδαχαὶ καὶ ἄλλα ἀνέκδοτα.

129. *Φιλόθεος* ὁ ἐξ Ἰωαννίνων. Ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινι-

κῆς διαλέκτου, πεπαιδευμένος τήν τε θύραθεν καὶ καθ' ἡμᾶς παιδείαν.

130. *Ἀλέξανδρος* . . . . . Ἀνὴρ εἰδήμων τῶν κατὰ Εὐρώπην γλωσσῶν καὶ τῆς ἑλληνικῆς οὐκ ἄγευστος. Περιηγήσατο δὲ σχεδὸν ἅπασαν τὴν Εὐρώπην. Συνέγραψε δὲ εἴτι τεθέαται καὶ ἤκουσεν ἄξιον, ἃ καὶ ἀνέθετο εἰς τὸν ἡγεμόνα Γρηγόριον.

131. *Μακάριος* ὁ ἐκ Χίου. Ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς, λατινικῆς καὶ γαλλικῆς διαλέκτου. Ἐμαθήτευσε δὲ καὶ τοῖς ἐν Ἰταλίᾳ σοφοῖς· ἐφωράθη μέντοι νοσῶν εἰς τὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας.

132. *Νεκτάριος* ὁ ἐξ Ἰωαννίνων. Ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς γλώττης, φιλόσοφος ἀριστοτελικὸς καὶ μαθηματικός.

133. *Γεώργιος* . . . . . Τῆς ἑλληνικῆς γλώσσης εἰδήμων καὶ τῆς καθ' ἡμᾶς καὶ ἔξω φιλοσοφίας οὐκ ἄγευστος. Ἐσχολάρχησε δὲ ἐν Γιασίῳ τῆς Μολδαβίας.

134. *Παγκράτιος ἱεροδιάκονος* ἐξ Ἰωαννίνων. Ἀνὴρ ἐλλόγιμος, μαθηματικὸς καὶ σοφιστής. Συνέγραψε δὲ κατὰ Λατίνων.

135. *Ἰωάννης Καλλιάρχης* ἐκ Χίου. Ἀνὴρ ἐλλόγιμος, φιλόσοφος ἀριστοτελικὸς καὶ ἰατρός. Συνεγράψατο δὲ κατὰ Λατίνων, ὡς οὐδεὶς ἐν τοῖς καθ' ἡμᾶς χρόνοις.

136. *Νικηφόρος ἱερομόναχος* ἐκ Σκοπέλου. Ἀνὴρ ἐλλόγιμος καὶ τῆς ἑλληνικῆς γλώττης εἰδήμων, τῆς τε καθ' ἡμᾶς καὶ τῶν ἔξω σοφίας πεπαιδευμένος, καὶ τῶν Πατέρων τῆς Ἐκκλησίας ἀνιχνευτής.

137. *Λάζαρος Τραπεζούντιος*. Ἀνὴρ πεπαιδευμένος ἱκανῶς τήν τε θεολογίαν καὶ τὴν θύραθεν φιλοσοφίαν καὶ ἐπὶ ἐναρέτῳ βίῳ ἐπίσημος.

138. *Γεράσιμος Ζακύνθιος*. Ἀνὴρ πολυμαθής, θεολόγος καὶ ἱεροκῆρυξ ἄριστος, εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου καὶ ἰταλικῆς, καὶ ἐν ταῖς Ἱεραῖς Γραφαῖς πολλὴν ἐσχηκὼς ἐμπειρίαν.

139. *Νικόλαος* ἐκ Πάρου. Ἀνὴρ σοφός, πολυμαθής, ῥήτωρ, καὶ τῶν τῆς ἰατρικῆς θεωρημάτων ἐμπειρότατος, εἰδήμων τῆς λατινικῆς καὶ ἰταλικῆς διαλέκτου. Συνέγραψε δὲ καὶ βίβλους τινὰς ἀξιολόγους ἁπλῇ διαλέκτῳ καὶ φράσει.

140. *Γεράσιμος* ἐκ νήσου Πάτμου. Ἀνεψιὸς τοῦ ἐπ' ἀρετῇ καὶ σοφίᾳ ἐκείνου Μακαρίου καὶ κατὰ πάντα ἐφάμιλλος. Ἐσχολάρχησε δὲ μετὰ θάνατον τοῦ θείου αὐτοῦ ἱκανοὺς χρόνους ἐν τῷ ἐκεῖσε φροντιστηρίῳ.

141. *Παγκράτιος*, μητροπολίτης Βάρνης. Εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς διαλέκτου· ἐφωράθη μέντοι νοσῶν ἀθεΐαν καὶ πλήρης αἱρέσεων, δι' ὧν ἐκβληθεὶς καὶ καθαιρεθεὶς περιήρχετο τόπον ἐκ τόπου ἔνθα καὶ τὸ ζῆν ἐξεμέτρησε.

142. *Εὐθύμιος* ἐξ Ἰωαννίνων. Εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς διαλέκτου, πεπαιδευμένος τὴν θύραθεν καὶ τὴν τῶν νεωτέρων φιλοσοφίαν· ἐφάνη μέντοι νοσῶν, ἃ καὶ ὁ Βάρνης ὁ θεόργιστος μετὰ καὶ ἄλλων τινῶν.

143. *Διονύσιος Φαίαξ*. Ἀνὴρ σοφὸς καὶ πολυμαθής, πεπαιδευμένος τήν τε θύραθεν καὶ καθ' ἡμᾶς θεολογίαν καὶ ἱεροκῆρυξ ἄριστος.

144. *Δαμωδὸς Κεφαληνεύς*. Ἀνὴρ σοφός, εἰδήμων τῆς λατινικῆς καὶ ἰταλικῆς γλώττης καὶ ῥήτωρ ἄριστος. Συνέγραψε δὲ κοινῇ διαλέκτῳ Ρητορικὰς δύο μαρτυρούσας τὴν ἀρετὴν αὐτοῦ καὶ περὶ λόγους δύναμιν.

145. *Νεόφυτος*, μητροπολίτης Μυρέων, ὕστερον δ' Οὐγγροβλαχίας, Κρής. Εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, τῆς τε θύραθεν φιλοσοφίας καὶ τῆς Ἱερᾶς θεολογίας ἔμπειρος καὶ κῆρυξ τοῦ εὐαγγελικοῦ λόγου.

145α. *Νικηφόρος Θεοτόκης*. Ἀνὴρ σοφὸς καὶ ῥήτωρ ἄριστος καὶ ἱεροκῆρυξ. Φαίαξ.

146. *Ἰγνάτιος πρεσβύτερος*. Κρής.

147. *Εὐγένιος*. Ἀνὴρ σοφὸς καὶ πολυμαθὴς καὶ ῥήτωρ ἄριστος. Φαίαξ.

148. *Μεθόδιος Ὀλυμπιώτης*. Φιλόσοφος ἀριστοτελικὸς καὶ ἱεροκῆρυξ, ἀπ' Ἀγυιᾶς.

149. *Ἰωακείμ Κεφαληνεύς*. Ῥήτωρ καὶ φιλόσοφος.

150. *Κωνσταντῖνος* ἐκ Ζαγορᾶς. Πολυμαθὴς καὶ φιλόσοφος· σχολαρχεῖ δὲ ἐν τῇ πατρίδι αὐτοῦ ὡς οὐδεὶς τῶν πρὸ αὐτοῦ.

151. *Ζαχαρίας ἱερομόναχος* ἀπὸ Βώλου. Ἐσχολάρχησεν ἐν τῇ αὐτῇ τῇ Σωτῆρος σχολῇ. Καὶ Ἄνθιμος μαθητὴς αὐτοῦ.

152. *Βασίλειος Πάτμιος*. Διδάσκαλος τῆς ἐν Πάτμῳ σχολῆς.

153. *Θεόδωρος ἱερεύς*. Μοσχοπολίτης.

154. *Ἰωάννης ἱερεύς*. Σχολαρχεῖ ἐν Ἀγυιᾷ.

155. *Δημήτριος*· καὶ οὗτος ὅμοιος.

156. *Κώνστας Γαλανός*, ἀπὸ Δημητριάδος.

157. *Νικόλαος Κασαβέτης* ἀπὸ Σωτῆρος Ζαγορᾶς. Σχολαρχεῖ ἐν τῇ πατρίδι αὐτοῦ καὶ κηρύσσει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον ὑπὲρ ἄλλον τινά.

158. *Ἀθανάσιος ἱερομόναχος Μίλιος*. Σχολαρχεῖ ἐν Θεσσαλονίκῃ.

159. *Κύριλλος ἱερομόναχος*. Σχολαρχεῖ εἰς Ἄθω.

160. *Νεόφυτος ἱερομόναχος*. Εὐγενίου μαθητής. Συνέγραψε δὲ Γραμματικὴν καὶ τύποις ἐξέδωκεν ἐν Βουκουρεστίῳ Βλαχίας.

161. *Κοσμᾶς ἱερομόναχος*. Ἱεροκῆρυξ περιπατητικὸς καὶ ἀκτήμων.